## XXXVI (22)

*Ἀστακίδην τὸν Κρῆτα τὸν αἰπόλον ἥρπασε Νύμφη*
*ἐξ ὄρεος, καὶ νῦν ἱερὸς Ἀστακίδης.*
*οὐκέτι Δικταίῃσιν ὑπὸ δρυσίν, οὐκέτι Δάφνιν,*
*ποιμένες, Ἀστακίδην δ' αἰὲν ἀεισόμεθα.*

## XXXVII (16)

*Κρηθίδα τὴν πολύμυθον ἐπισταμένην καλὰ παίζειν*
*δίζηνται Σαμίων πολλάκι θυγατέρες,*
*ἡδίστην συνέριθον ἀείλαλον· ἡ δ' ἀποβρίζει*
*ἐνθάδε τὸν πάσαις ὕπνον ὀφειλόμενον.*

## XXXVIII (18)

*Νάξιος οὐκ ἐπὶ γῆς ἔθανεν Λύκος, ἀλλ' ἐνὶ πόντῳ*
*ναῦν ἅμα καὶ ψυχὴν εἶδεν ἀπολλυμένην*
*ἔμπορος Αἰγίνηθεν ὅτ' ἔπλεε· χὠ μὲν ἐν ὑγρῇ*
*νεκρός, ἐγὼ δ' ἄλλως οὔνομα τύμβος ἔχων*
*κηρύσσω πανάληθες ἔπος τόδε· "φεῦγε θαλάσσῃ*
*συμμίσγειν Ἐρίφων, ναυτίλε, δυομένων."*

## XXXIX (60)

*οἵτινες Ἀλείοιο παρέρπετε σᾶμα Κίμωνος,*
*ἴστε τὸν Ἱππαίου παῖδα παρερχόμενοι.*